χρόως καταξηραινόμενον τὸ ὑγρὸν, γίνεται λευκόν. καὶ τὰ περὶ τοὺς κροτάφους μάλιστα πάντων πολιοῦνται, καὶ ὅλως [ὡς ἔφαμεν] περὶ τοὺς ἀσθενεῖς καὶ πεπονηκότας τῶν τόπων. παρὸ καὶ παρὰ τὰ μάλιστα εἰς τοῦτο τὸ χρῶμα μεταβάλλει, ὅταν τὴν φύσιν παραλλάξῃ τὴν οἰκείαν, καὶ γὰρ λαγὼς γέγονεν ἤδη λευκὸς, καὶ λευκὸς δή ποτε πέφηνε καὶ ἔλαφος καὶ ἄρκτος· ὁμοίως δὲ τούτοις καὶ ὄρτυξ, καὶ πέρδιξ, καὶ χελιδών. ὅταν γὰρ ἀσθενήσωσι τῇ γενέσει, πάντα τὰ τοιαῦτα, διὰ τὴν ὀλιγότητα τῆς τροφῆς πρὸ ὥρας ἐκπεττόμενα, γίνεται λευκά. οὕτως καὶ τὰ τῶν παιδίων εὐθὺς καὶ τὰς κεφαλὰς ἔχει λευκὰς, καὶ τὰ βλέφαρα καὶ τὰς ὀφρῦς, ὥσπερ καὶ τῶν ἄλλων ἑκάστῳ πρὸς τὸ γῆρας φανερῶς [ἅπασι] δι᾽ ἀσθένειαν καὶ ὀλιγότητα [τῆς τροφῆς] συμβαίνει τοῦτο τὸ πάθος τὸ τῆς πολιώσεως. διὸ καὶ τὰ πλεῖστα τῶν ζώων ἀσθενέστερα γίνονται τὰ λευκὰ τῶν μελάνων. πρὸ τοῦ γὰρ τὴν αὔξησιν αὐτῶν τελειωθῆναι, διὰ τὴν ὀλιγότητα τῆς τροφῆς ἐκπεττόμενα, γίνεται λευκά, καθάπερ καὶ τῶν καρπῶν ὅσοι νενοσηκότες τυγχάνουσι. καὶ γὰρ οὗτοι πολὺ μᾶλλον δι᾽ ἀσθένειαν ἐκπέττονται. ὅσα δὲ γίνεται λευκὰ, πολὺ διαφέρουσι [ἐκ] τῶν ἄλλων· οἷον ἵπποι καὶ κύνες. τὰ δὲ τοιαῦτα μεταβάλλει πάντα ἐκ τοῦ κατὰ φύσιν χρώματος εἰς τὸ λευκὸν, διὰ τὴν εὐτροφίαν. τὸ γὰρ ὑγρὸν ἐν τοῖς τοιούτοις οὐ χρονιζόμενον, ἀλλ᾽ ἀναλισκόμενον διὰ τὴν αὔξησιν, γίνεται μέλαν. τὰ πλεῖστα γάρ ἐστι τῶν τοιούτων ὑγρὰ καὶ εὔκαρπα, διὰ τὴν εὐτροφίαν. διόπερ οὐδὲ μεταβάλλει τὰ λευκὰ τῶν τριχωμάτων. φανερὸν δὲ τοῦτο ἐστί. καὶ γὰρ τὰ μέλανα πρότερον τῆς πολιώσεως, γίνεται πυρρά, ἤδη τῆς τροφῆς ἐν αὐτοῖς ἀπολειπούσης, καὶ μᾶλλον ἐκπεττομένης· τὸ δὲ τελευταῖον, λευκά. καίτοι τινὲς ὑπολαμβάνουσι μέλανα γίνεσθαι πάντα, διὰ τὸ συγκάεσθαι τὴν τροφὴν αὐτῶν ὑπὸ τοῦ θερμοῦ, καθάπερ καὶ τὸ αἷμα, καὶ τῶν ἄλλων ἕκαστον· διαμαρτάνοντες. ἔνια γὰρ καὶ τῶν ζώων εὐθὺς ἐν ἀρχῇ γίνεται μέλανα, οἷον κύνες, καὶ αἶγες, καὶ βόες, καὶ ὅλως ὅσων τὰ δέρματα καὶ τὰ τριχώματα κατάρχας [αὐτῶν πλείω] ἔχει τροφήν· προϊούσης δὲ τῆς ἡλικίας, ἧττον. καίτοι γε οὐκ ἐχρῆν· ἀλλὰ πάντος ἔδει τοιαῦτ᾽ εἶναι καὶ τὰ τριχώματα [καὶ] τὴν ἀκμὴν, καθ᾽ ὃν χρόνον μάλιστα αὐτῶν αἱ ἰσχὺν καὶ τὸ θερμόν,

A humidum citò exarescens fit album. Eademque causa partes temporibus finitimę omnium maximè canescunt:& in vniuersum, circa loca infirma, & laborantia hoc euenit. Præterea & circa hæc loca in primis in hunc colorem fit mutatio, quum propriam naturam immutauerint. Nam & lepus iam factus est candidus: aliquando etiam niger visus est,& ceruus,& vrsus,& cum istis æquè coturnix, & perdix, & hi-
B rundo. Quando enim à primis natalibus huiusmodi infirma gignũtur, ob inopiam alimenti intempestiuè, ac præproperè maturescentia, alba fiunt. Sic & pueri quidam protinus capita habẽt albicantia, & cilia, & supercilia, quod cæteris appetente senio contingit: idque indubitatò propter infirmitatem, paucitatémque alimenti. Hoc enim illud est, quod canitiem inuehit. Proinde animalia alba pleraque o-
C mnia infirmiora sunt, quàm nigra. Nam hæc antè quàm absolutum incrementum capessant, propter paucitatem, tenuitatémque alimenti iam natura, alba efficiũtur, eo more, quo solent fructus, quotquot laborare, & ægrotare contigerit: hi enim multum ante tempus ob imbecillitatem maturescunt. Quæcunque autem fiunt alba, multùm à cæteris differunt: sicuti equi, & canes. Huiusmodi autem omnia
D transmutant eum, qui secundum naturam est, colorem in album. Quod non aliunde, quàm ab inopia alimenti, prouenit. Humidum enim in huiusmodi non vetustescens, sed absumptum ab augmento, atrum efficitur. Plurima enim sunt ex iis & humida, & infrugifera, ratione boni nutrimenti: ob id non commutant pilos in colorem album. Quod ex eo perspectum est, quoniam nigra antè, quàm canescant, rufa euadunt, alimento in illis deficiente,
E & plus nimio iam excocto: quæ demum posteà exalbescunt. Sed enim nonnulli suspicantur nigra omnia fieri, ea causa, quòd eorum alimentum à calido aduratur, sicuti sanguinem & aliorum vnumquodque qua in re falluntur. Quædam enim animalia protinus & ab ipsis vsque incunabulis nigra nascuntur: sicut canes, capellæ, boues, & in vniuersum omnia, quorum pili,& coria à primis vsque initiis
F alimentum habent. Procedente autem ætate, minùs nigrum colorem defendunt. Quod non sic decebat: siquidem omnium tales esse pilos in ipso ętatis vigore par fuit tũc, quũ in ipsis etiã plurimùm calor viget: